## *Come Quinto Fabio Massimo riconquista Taranto*

Τὴν δὲ Ταραντίνων πόλιν [ὁ Φάβιος] ἔσχεν ἑαλωκυῖαν ἐκ προδοσίας τὸν τρόπον τοῦτον. Ἐστρατεύετο παρ᾽αὐτῷ νεανίας Ταραντῖνος ἔχων ἀδελφὴν ἐν Τάραντι πιστῶς πάνυ καὶ φιλοστόργως διακειμένην πρὸς αὐτόν. Ἤρα δὲ ταύτης ἀνὴρ Βρέττιος τῶν τεταγμένων ὑπ᾽Ἀννίβου τὴν πόλιν φρουρεῖν ἐφ᾽ ἡγεμονίας. Τοῦτο πράξεως ἐλπίδα τῷ Ταραντίνῳ παρέσχε, καὶ τοῦ Φαβίου συνειδότος εἰς τὴν πόλιν ἀφείθη, λόγῳ δ᾽ἀποδεδράκει πρὸς τὴν ἀδελφήν. Αἱ μὲν οὖν πρῶται τῶν ἡμερῶν διῆσαν, καὶ καθ᾽ἑαυτὸν ὁ Βρέττιος ἀνεπαύετο, λανθάνειν τὸν ἀδελφὸν οἰομένης ἐκείνης. Ἔπειτα λέγει πρὸς αὐτὴν ὁ νεανίας·

«Eppure laggiù al campo correva insistente la voce che tu fossi l'amante di un uomo importante e potente in città. Ma chi è costui? Se, come dicono, è stimato per il suo valore e insigne, la guerra, che tutto confonde, non si preoccupa delle differenze di stirpe; un'azione compiuta per necessità non è vergognosa, anzi è una fortuna, in una situazione nella quale la giustizia è debole, trovare mitezza nell'oppressore».

Ἐκ τούτου μεταπέμπεται μὲν ἡ γυνὴ τὸν Βρέττιον καὶ γνωρίζει τὸν ἀδελφὸν αὐτῷ, ταχὺ δὲ συμπράττων τὴν ἐπιθυμίαν ἐκεῖνος καὶ μᾶλλον ἢ πρότερον εὔνουν καὶ χειροήθη τῷ βαρβάρῳ παρέχειν δοκῶν τὴν ἀδελφήν, ἔσχε πίστιν, ὥστε μὴ χαλεπῶς ἐρῶντος ἀνθρώπου μισθοφόρου μεταστῆσαι διάνοιαν ἐπ᾽ἐλπίσι δωρεῶν μεγάλων ἃς ἐπηγγέλλετο παρέξειν αὐτῷ τὸν Φάβιον. [...] Ἡμέρᾳ ἕκτῃ τοὺς Ταραντίνους τοῦ Φαβίου περιστρατοπεδεύσαντος, ὁ προδιειλεγμένος τῷ Βρεττίῳ μετὰ τῆς ἀδελφῆς νεανίσκος ἧκε νύκτωρ πρὸς αὐτόν, εἰδὼς ἀκριβῶς καὶ καθεωρακὼς τὸν τόπον ἐφ᾽οὗ παραφυλάττων ὁ Βρέττιος ἔμελλεν ἐνδώσειν καὶ παρήσειν τοῖς προσβάλλουσιν.

Il capitano bruzio diede il segnale a Fabio che era giunto il momento opportuno, e questi, salendo con delle scale, si impadronì della città […] diede l'ordine che per primi fossero uccisi i Bruzi della guarnigione, affinché non risultasse che egli aveva preso Taranto con il tradimento.

Ἀπέθανον δὲ πολλοὶ καὶ τῶν Ταραντίνων, οἱ δὲ πραθέντες ἐγένοντο τρισμύριοι, καὶ τὴν πόλιν ἡ στρατιὰ διήρπασεν, ἀνηνέχθη δ᾽ εἰς τὸ δημόσιον τρισχίλια τάλαντα.

PLUTARCO, *Vita di Fabio Massimo*